καὶ ὅτι τὸ τί ἦν εἶναι καὶ ἕκαστον, ἐπὶ τινῶν μὲν ταὐτό, ὥσπερ ἐπὶ τῶν πρώτων οὐσιῶν· οἷον, καμπυλότης καὶ καμπυλότητι εἶναι, εἰ πρώτη ἐστί. λέγω δὲ πρώτην, ἣ μὴ λέγεται τῷ ἄλλο ἐν ἄλλῳ εἶναι καὶ ὑποκειμένῳ ὡς ὕλῃ. ὅσα δ' ὡς ὕλη, ἢ ὡς συνειλημμένα τῇ ὕλῃ, οὐ ταὐτό, εἰ μὴ κατὰ συμβεβηκὸς ἕν, οἷον ὁ Σωκράτης καὶ τὸ μουσικόν. ταῦτα γὰρ ταὐτὰ κατὰ συμβεβηκός.

Κεφάλαιον ιβ.

Νῦν δὲ λέγωμεν πρῶτον, ἐφ' ὅσον ἐν τοῖς ἀναλυτικοῖς περὶ ὁρισμοῦ μὴ εἴρηται. ἡ γὰρ ἐν ἐκείνοις ἀπορία λεχθεῖσα, πρὸ ἔργου τοῖς περὶ τῆς οὐσίας ἐστὶ λόγοις. λέγω δὲ ταύτην τὴν ἀπορίαν, διὰ τί ποτε ἕν ἐστι τὸ ὁριστόν, οὗ τὸν λόγον ὁρισμὸν εἶναι φαμέν· οἷον, ὁ τοῦ ἀνθρώπου τὸ ζῶον δίπουν. ἔστω γὰρ οὗτος αὐτοῦ λόγος. διὰ τί δὴ τοῦτο ἕν ἐστιν, ἀλλ' οὐ πολλὰ ζῶον καὶ δίπουν; ἐπὶ μὲν γὰρ τοῦ ἄνθρωπος καὶ λευκόν, πολλὰ μέν ἐστιν, ὅταν μὴ ὑπάρχῃ θατέρῳ θάτερον· ἓν δέ, ὅταν ὑπάρχῃ καὶ πάθῃ τι τὸ ὑποκείμενον ὁ ἄνθρωπος. τότε γὰρ ἓν γίνεται, καὶ ἔστιν ὁ λευκὸς ἄνθρωπος. ἐνταῦθα δ' οὐ μετέχει θατέρου θάτερον. τὸ γὰρ γένος, οὐ δοκεῖ μετέχειν τῶν διαφορῶν· ἅμα γὰρ ἂν τῶν ἐναντίων τὸ αὐτὸ μετεῖχεν. αἱ γὰρ διαφοραὶ ἐναντίαι, αἷς διαφέρει τὸ γένος. εἰ δὲ καὶ μετέχει, ὁ αὐτὸς λόγος, εἴπερ εἰσὶν αἱ διαφοραὶ πλείους, οἷον πεζόν, δίπουν, ἄπτερον. διὰ τί γὰρ ταῦτα ἕν, ἀλλ' οὐ πολλά; οὕτω μὲν γὰρ ἐξ ἁπάντων ἔσται τὸ ἕν. δεῖ δέ γε ἓν εἶναι ὅσα ἐν τῷ ὁρισμῷ· ὁ γὰρ ὁρισμὸς λόγος τίς ἐστιν εἷς καὶ οὐσίας· ὥστε ἑνός τινος δεῖ αὐτὸν εἶναι λόγον. καὶ γὰρ ἡ οὐσία ἕν τι, καὶ τόδε τι σημαίνει ὡς φαμέν. δεῖ δὲ ἐπισκοπεῖν πρῶτον περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν. οὐδὲν γὰρ ἕτερόν ἐστιν ἐν τῷ ὁρισμῷ, πλὴν τό, τε πρῶτον λεγόμενον γένος, καὶ αἱ διαφοραί· τὰ δ' ἄλλα γένη ἐστί, τό, τε πρῶτον καὶ μετὰ τούτου αἱ συλλαμβανόμεναι διαφοραί· οἷον τὸ πρῶτον, ζῶον· τὸ δὲ ἐχόμενον, ζῶον δίπουν, καὶ πάλιν ζῶον δίπουν, ἄπτερον. ὁμοίως δὲ κἂν διὰ πλειόνων λέγηται. ὅλως δ' οὐδὲν διαφέρει διὰ πολλῶν, ἢ δι' ὀλίγων, ἢ διὰ δυοῖν. τοῖν δυοῖν δέ, τὸ μὲν διαφορά, τὸ δὲ γένος, οἷον τὸ ζῶον δίπουν, τὸ μὲν ζῶον, γένος· διαφορὰ δέ, θάτερον. εἰ οὖν τὸ γένος ἁπλῶς μὴ ἔστι παρὰ τὰ ὡς γένους εἴδη, ἢ εἰ ἔστι μέν, ὡς

A Et quod quid erat esse, & vnumquodque in quibusdam quidem idem est, vt in primis substantiis, vtputa curuitas, & curuitati esse, si prima est. Dico autem primam, quæ non dicitur eo quòd aliud in alio sit, & subiecto vt materia. Quæcunque verò vt materia, vel vt simul cum materia sumpta sunt, non idem, neque secundum accidens, vt vnum, Socrates, & musicum, hæc enim secundum accidens, eadem sunt.

CAPVT XII.

B Nunc autem primò dicamus, quatenus in Analyticis de definitione non est dictum: dubitatio enim, quæ in illis dicta est, proderit rationibus de substantia. Dico autem hanc dubitationem, quare vnum est definitum, cuius rationem definitionem esse dicimus: vt hominis animal bipes (sit nanque eius ratio) cur igitur hoc vnum est, non autem multa, animal & bipes? homo enim, & album, multa quidem sunt, cùm non insint, alterum alteri.
C Vnum verò cùm insint, & subiectum, vt homo, aliquid patiatur. Tunc enim albus homo vnum fit, & est: hìc verò non est alterum alterius particeps. Genus etenim nõ videtur particeps esse differentiarum. Simul nanque contrariorum idem participaret. Differentiæ nanque contrariæ, quibus genus differt. Quòd si etiam participat, eadem ratio est, si differentiæ quidem plures sunt, vt gressiuum, bipes, implume.
D Cur enim vnum, sed non multa sunt hæc? non enim quia insunt, sic enim ex omnibus erit vnum: sed quia oportet vnum esse, quæcũque in definitione sunt. Definitio nanque, ratio quædam vna, & substantia est: quare vnius cuiuspiam oportet ipsam esse rationem. Etenim substantia, vnum quiddam, & quod quid, vt dicimus, significat. Oportet autem primò considerare de iis, quæ secundum diuisiones sunt, definitionibus.
E Nihil enim aliud in definitione est, nisi (quod primum dicitur) genus, & differentiæ. Cætera verò genera sunt, & ipsum primum, & post hoc, quæ comprehenduntur differentiæ: vtputa ipsum primum, est animal: consequens verò, animal bipes, & rursus animal bipes implume. Similiter etiam si per plura dicatur: & omnino nihil differt, per multa, an per pauca dicatur: neque vtique per
F pauciora quàm duo. Duorum verò hoc quidem genus, hoc verò differentia: vtputa huius, animal bipes, animal quidem genus, differentia verò alterum. Si igitur genus simpliciter non est præter eas, quæ vt generis species sunt, aut si est quidem